A Σχόλ. Ἠπιαλῶν γάρ.] ἀντὶ τοῦ ῥιγοπυρέτῳ περιπεσών. ἠπίαλος γὰρ κυρίως ὁ μετὰ ῥίγους πυρετός. ἠπιαλῶν δὲ εἶπε καὶ βαδίζων ἀντὶ τοῦ ἠπιαλοῦντες καὶ βαδίζοντες, ἱππασίας δὲ, ἀντὶ τοῦ ἱππικῆς ὡς ὄντος αὐτοῦ ἱππέως. καὶ γὰρ ἕως ἑσπέρας διατρίβουσιν ἐν τῇ δοκιμασίᾳ οἱ ἵπποι. Τῆς κεφαλῆς Ὀρέστης.] ἀντὶ τοῦ τὴν κεφαλὴν, ἀττικῶς. ὁ δὲ Ὀρέστης οὗτος προσποιούμενος μωρίαν, τοὺς παριόντας ἀπέδυεν. ἦν γὰρ λωποδύτης. ἢ πρὸς τὴν ὁμωνυμίαν, ἀντὶ τοῦ ὁ μαινόμενος. πελεθὸν δὲ, βόλον. Βάλοι Κρατῖνον] παρ᾽ ὑπόνοιαν λέγει. οὐ τὸν ποιητὴν. ἀλλά τινα ἀλαζόνα καὶ θρασὺν, καὶ μαινόμενον καὶ μέθυσον. βάλοι οὖν φησι τοῦτον. ἵνα πλείοσι κακοῖς περιπέσῃ τυπτόμενος ὑπ᾽ αὐτοῦ.

B

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ
### Σκηνὴ πρώτη.
### ΑΓΓΕΛΟΣ ΤΟΥ ΛΑΜΑΧΟΥ.

Bisetus. Ἄγγελος ἐκ στρατοπέδου ἐπιστρέψας τοῦ Λαμάχου δεσπότου ἧτταν, τὰς πληγὰς, τὰ τραύματα, καὶ δυστυχίαν ἀγγέλλει, καὶ πάντας τοὺς οἰκείους δούλους πρὸς τὴν τραυμάτων θεραπείαν θᾶσσον ὁρμᾶσθαι κελεύει.

Σύστημα κατὰ περικοπὴν ἐκ στίχων ις´.

Ἄγγελ. Ὦ Δμῶες οἳ κατ᾽ οἶκον ἐστὲ Λαμάχου,
C Ὕδωρ ὕδωρ ἐν χυτριδίῳ θερμαίνετε,
Ὀθόνια, κηρωτὴν παρασκευάζετε,
Ἔρι᾽ οἰσυπηρὰ, λαμπάδιον περὶ τὸ σφυρόν,
Ἀνὴρ τέτρωται χάρακι, διαπηδῶν τάφρον,
Καὶ τὸ σφυρὸν παλίνορρον ἐξεκόκκισεν,
Καὶ τῆς κεφαλῆς κατέαγε περὶ λίθον πεσὼν,
Καὶ Γοργόν᾽ ἐξήγειρεν ἐκ τῆς ἀσπίδος.
D Πτίλον δὲ τὸ μέγα κομπολακύθου πεσὸν
Πρὸς ταῖς πέτραισι, δεινὸν ἐξηύδα μέλος,
Ὦ κλεινὸν ὄμμα νῦν πανύστατόν σ᾽ ἰδὼν,
Λείπω φάος γε τοὐμὸν, οὐκέτ᾽ εἴμ᾽ ἐγώ.
Τοσαῦτα λέξας, εἰς ὑδρορρόαν πεσὼν,
Ἀνίσταταί τε καὶ ξυναντᾷ δραπέταις,
Λῃστὰς ἐλαύνων, καὶ κατασπέρχων δορί,
Ὁδὶ δὲ καὐτὸς, ἀλλ᾽ ἄνοιγε τὴν θύραν.

## ACTVS V. SCENA prima.
### Nvncivs Lamachi.

Nv. *O Seruuli, qui Lamachi estis in domo,*
*Aquam hic, aquam famuli in olla calefacite,*
*Linteola, ceratum parate, succidas*
*Proferte lanas, & linamenta tenera,*
*Ad malleolum pedis, nam vt fossam transiit,*
*Sude vulneratus est, pedisque malleus,*
*Quasi granum corticis, luxatus est viro.*
*Caput item, lapidi impingens, fregit pessimè,*
*Et Gorgona excitauit è clypeo suo.*
*Tum penna gloriosa aniculæ grandior,*
*Scopulo incidens, horrendum carmen edidit:*
*O præclare ocule hodie extremum te conspicor,*
*Meámque lucem desero: nulla, nulla sum.*
*Vbi hoc locuta est in canalem illabitur:*
*Mox consurgit, & in fugitiuos quosdam incidit.*
*Hos hasta impellit, & ad celerem gradū incitat.*
*Sed eccum adest ipsus, aperi: pande ostium.*

E Σχόλια. Ὦ δμῶες] κορωνίς. εἰσέρχεται γὰρ ὁ ὑποκριτής. καὶ ἔστιν ἰαμβεῖα τρίμετρα ἀκατάληκτα ις. Ὀθόνια.] τὰ λεγόμενα παρὰ ἰατροῖς λυχνώματα. Ἔρι᾽ οἰσυπηρά.] Σουίδας. οἰσυπηρὸς, ῥυπαρός. καὶ ἔρια οἰσυπηρὰ, ῥύπου πεπληρωμένα. ῥυπάσματα ἀπὸ τῆς κόπρου. οἰσύπη δὲ, τὰ διαχωρήματα τῶν προβάτων. καὶ ἀλλαχοῦ, οἴσυπη, ὁ ῥύπος τῶν ἐρίων. Λαμπάδιον] οἱ μὲν τὸ λεπτὸν χειρίδιον. οἱ δὲ ἐπιδέσμου εἶδος. οἱ δὲ τὸν νάρθηκα τῶν ἰατρῶν, τὸν ναρθηκίζοντα τὸ σφυρόν. οἱ δὲ τὰ ἔμμοτα. περὶ τὸ σφυρὸν δὲ, περὶ τὸ ὀστοῦν τὸ κάτωθεν τοῦ γόνατος. F Τέτρωται χάρακι] χάραξ ἐστὶ ξύλον, ἐν ᾧ τὰς ἀμπέλους δεσμοῦσιν, ὥστε ἵστασθαι, καὶ μὴ πίπτειν εἰς τὴν γῆν. Παλίνορρον ἐξεκόκκισεν] ἐξέκλασεν, ἐξέβαλεν. ἡ μεταφορὰ ἀπὸ τῶν κόκκων, οὓς οἱ λικμητῆρες πληγαῖς ἐκβάλλουσι. τὸ δὲ τῆς κεφαλῆς κατέαγε, τουτέστι μέρος τῆς κεφαλῆς. οὐχ ὅλην τὴν κεφαλήν. τοῦτο δὲ κατὰ τοὺς γραμματικοὺς κανόνας. τὸ δὲ κατέαγε, παρὰ τὸ καταγνύω, κατάγνυμι, κατάξω, ὡς παρὰ τὸ ῥηγνύω, τὸ ῥήγνυμι. ὁ μέσος παρακείμενος κατῆγα, καὶ διαλύσει κατέαγα, ἀντὶ τοῦ ἐρρήχθην, ἢ ἔρρηξα. καὶ ἐν Σφηξίν,

Ἀνὴρ Συβαρίτης ἐξέπεσεν ἐξ ἅρματος,
Καί πως κατεάγη τῆς κεφαλῆς μέγα σφόδρα.

Καὶ Γοργόν᾽ ἐξήγειρε] παρ᾽ ὑπόνοιαν. θέλων γὰρ εἰπεῖν ὅτι ἀπὸ τῆς πληγῆς κονδύλην ἐποίησεν αὐτὸς ὁ Λάμαχος, ἔφη Γοργόνα ἐξήγειρεν. ὡσεὶ ἔλεγεν. οἴδημα ἀνέστησεν ἐπὶ τῆς κεφαλῆς. Πτίλον δὲ τὸ μέγα] ἔπαιξε πλάσας ὄνομα ὄρνιθος. διὰ τὸ κομπηρὸν τοῦ Λαμάχου. γράφεται δὲ οὕτως. πτίλου δὲ τοῦ μεγάλου πεσόντος ἐς τὰς πέτρας, δεινὸν μέλος ἐξηύδα ὁ Λάμαχος. ἢ πεσὼν πρὸς ταῖς πέτραις, ἐθρήνει τὸ μέγα πτίλον. ἄλλως. πτίλον μέγα λέγει τὴν περικεφαλαίαν αὐτοῦ, ἀπὸ τοῦ ἐν αὐτῇ πτεροῦ. οὐ γὰρ τὸ πτερὸν πεσὸν εἰς πέτραν ἤχησεν, ἀλλὰ τὸ κράνος ἐκ χαλκοῦ κατεσκευασμένον. ὑδρορρόαν δὲ ὕφαλον πέτραν, ἢ τὸ μέρος τῆς στεφανίδος, δι᾽ οὗ τὸ ἀπὸ τοῦ ὄμβρου ὕδωρ συναγόμενον καθέρχεται. ἢ ὁ στενὸς τόπος. λέγεται δὲ καὶ ὑδρόρροια. ὡς τὸ, οἱ δὲ εἰς τὰς ὑδρορροίας συνωθοῦντες αὐτοὺς, διὰ τούτων ἐσώζοντο εἰς τὰς ναῦς.

G

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ
### Σκηνὴ δευτέρα.
### ΛΑΜΑΧΟΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ, ΧΟΡΟΣ.

## ACTVS V. SCENA secunda.
### Lamachvs, Dicæopolis, Chorvs.

Biset.